## 8. DUBIUM

**8** Stob. 4. 34. 28 *Σιμωνίδου·*

ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
"οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν"·
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστωι
ἀνδρῶν, ἥ τε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ᾽ ὄφρα τις ἄνθος ἔχηι πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ᾽ ἀτέλεστα νοεῖ·
οὔτε γὰρ ἐλπίδ᾽ ἔχει γηρασέμεν οὔτε θανεῖσθαι,
οὐδ᾽, ὑγιὴς ὅταν ἦι, φροντίδ᾽ ἔχει καμάτου.
νήπιοι, οἷς ταύτηι κεῖται νόος, οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ᾽ ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῆι τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

## 9-16. INCERTUM AN EX EPIGRAMMATIS

Vita Aeschyli 8 *ἀπῆρε δὲ ὡς Ἱέρωνα, κατὰ τινὰς μὲν ὑπὸ Ἀθηναίων κατασπουδασθεὶς καὶ ἡσσηθεὶς νέῳ ὄντι Σοφοκλεῖ, κατὰ δὲ ἐνίους ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ.*

**9** Schol. Ar. *Pac.* 736 sqq. *παρὰ τὰ Σιμωνίδου ἐκ τῶν ἐλεγείων·*

εἰ δ᾽ ἄρα τιμῆσαι θύγατερ Διός, ὅστις ἄριστος,